Sunt autem iſti qui dicti ſunt, & qui ad ipſos referuntur, quorum magiſtri, aut conſiliarij fuerunt. Et ſi ſint alij ſimiles, quibuſcum de honore concertant: multa enim pudore affecti propter tales faciunt, & non faciunt. Et qui conſpicientur & in aperto verſabuntur cum conſciis, eos pudet magis. Vnde & Antiphon Poeta, cùm tympano torquendus eſſet à Dionyſio, & videret vnà morituros ſe obnubere, vt egreſſi ſunt ex portis, Quid, inquit, obnubitis? anne cras aliquis horum vos videat? Ac de pudore quidem hæc: de impudentia verò apparet ex contrariis nos abundaturos.

CAPVT VII.

QVibus autem gratiam habeant, & ob quæ, & quomodo ipſi ſe habentes, cùm definiuerimus gratiam, conſtabit. Sit igitur gratia per quam is, qui poſſidet, dicitur gratificari ei, qui indiget, non pro vlla re, neque vt aliquid ſit ei, qui tribuit, ſed vt illi aliquid. Magna autem, ſi aut eorum qui valde indigent, aut rerum magnarum, & difficilium: aut in occaſionibus talibus aut ſolus, aut primus, aut maximè. Ac indigentiæ ſunt appetitiones, & ex his maximè, quæ cum moleſtia rei, quę non ſuppetit. eiuſmodi verò ſunt cupiditates, vt amor: & in corporis cruciatibus: & in periculis. Etenim qui in periculo verſatur, cupit, & qui in dolore. Quamobrem qui in paupertate ſubueniunt, & fuga, etiam ſi parua ſubminiſtrauerint, propter magnitudinem indigentiæ, & temporis occaſionem, gratiam tribuerunt, vt qui in Lyceo ſtoream præbuit. Neceſſe igitur eſt maximè in talia facere tributionem, ſin minus, in paria aut maiora. Quocirca, quia apparet & quando, & ob quæ fiat gratia, & quomodo ſe habentibus, manifeſtum eſt ex his apparatum faciendum eſſe demonſtrando illos aut eſſe, aut fuiſſe in eiuſmodi indigentia, & dolore: hos verò dediſſe in eiuſmodi neceſſitate, tale aliquid tribuentes. Apparet verò etiam vnde diminuere contingat gratiam, & efficere gratiæ expertes. aut enim quòd ſua cauſa tribuunt, aut tribuerunt (id autem non erat gratia) aut quòd fortuitò fecerunt, aut coacti ſunt, aut quòd reddiderunt, non dederunt, ſiue ſcientes, ſiue nequaquam: vtroque enim modo eſt aliquid pro aliquo. Quare ne ſic quidem erit gratia. Et de omnibus categoriis conſideratio habenda. Nam gratia eſt, aut quia hoc: aut tantum: aut tale: aut quando: aut vbi.

A εἰσὶ δὲ οὗτοι οἱ εἰρημένοι, καὶ οἱ εἰς αὐτοὺς ἀναφερόμενοι, ὧν διδάσκαλοι ἢ σύμβουλοι γεγόνασι. καὶ ἐὰν ὦσιν ἕτεροι ὅμοιοι, πρὸς οὓς φιλοτιμοῦνται· πολλὰ γὰρ αἰσχυνόμενοι διὰ τοὺς τοιούτους καὶ ποιοῦσι καὶ οὐ ποιοῦσι. καὶ μέλλοντες ὁρᾶσθαι, καὶ ἐν φανερῷ ἀναστρέφεσθαι τοῖς συνειδόσιν αἰσχυντηλοὶ μᾶλλόν εἰσιν· ὅθεν καὶ Ἀντιφῶν ὁ ποιητὴς μέλλων ἀποτυμπανίζεσθαι ὑπὸ Διονυσίου, εἶπεν, ἰδὼν τοὺς
B συναποθνήσκειν μέλλοντας ἐγκαλυπτομένους ὡς ᾔεσαν διὰ τῶν πυλῶν, τί ἐγκαλύπτεσθε ἔφη· ἢ μὴ αὔριόν τις ὑμᾶς ἴδῃ τούτων; περὶ μὲν οὖν αἰσχύνης, ταῦτα· περὶ δὲ ἀναισχυντίας, δῆλον ὡς ἐκ τῶν ἐναντίων εὐπορήσομεν.

Κεφάλαιον ζ.

Τίσι δὲ χάριν ἔχουσι, καὶ ἐπὶ τίσιν, ἢ πῶς αὐτοὶ ἔχοντες, ὁρισαμένοις τὴν χά-
C ριν, δῆλον ἔσται. ἔστω δὴ χάρις, καθ' ἣν ὁ ἔχων λέγεται χάριν ὑπουργεῖν τῷ δεομένῳ, μὴ ἀντί τινος, μηδ' ἵνα τι αὐτῷ τῷ ὑπουργοῦντι, ἀλλ' ἵνα ἐκείνῳ τι· μεγάλη δ' ἂν, ἢ σφόδρα δεομένων, ἢ μεγάλων καὶ χαλεπῶν, ἢ ἐν καιροῖς τοιούτοις, ἢ μόνος, ἢ πρῶτος, ἢ μάλιστα. δεήσεις δέ εἰσιν, αἱ ὀρέξεις, καὶ τούτων μάλιστα αἱ μετὰ λύπης τοῦ μὴ γιγνομένου· τοιαῦται δ' αἱ ἐπιθυμίαι· οἷον, ὁ ἔρως. καὶ ἐν ταῖς τοῦ σώματος
D κακώσεσι, καὶ ἐν κινδύνοις· καὶ γὰρ ὁ κινδυνεύων ἐπιθυμεῖ, καὶ ὁ λυπούμενος· διὸ οἱ ἐν πενίᾳ παρεστάμενοι καὶ φυγαῖς, κἂν μικρὰ ὑπηρετήσωσι, διὰ τὸ μέγεθος τῆς δεήσεως. καὶ τὸν καιρὸν κεχαρισμένοι· οἷον, ὁ ἐν Λυκείῳ τὸν φορμὸν δούς. ἀνάγκη οὖν μάλιστα μὲν εἰς τοιαῦτα ἔχειν τὴν ὑπουργίαν· εἰ δὲ μὴ, εἰς ἴσα, ἢ μείζω. ὥστ' ἐπεὶ φανερὸν καὶ ὅτε, καὶ ἐφ' οἷς γί-
E γνεται χάρις, καὶ πῶς ἔχουσι, δῆλον ὅτι ἐκ τούτων παρασκευαστέον, τοὺς μὲν δεικνύντας, ἢ ὄντας, ἢ γεγενημένους ἐν τοιαύτῃ λύπῃ καὶ δεήσει· τοὺς δὲ, ὑπηρετῆσαι ἐν τοιαύτῃ χρείᾳ τοιοῦτόν τι ὑπηρετοῦντας. φανερὸν δὲ καὶ ὅθεν ἀφαιρεῖσθαι ἐνδέχεται τὴν χάριν, καὶ ποιεῖν ἀχαρίστους· ἢ γὰρ ὅτι αὑτῶν ἕνεκα ὑπηρετοῦσιν, ἢ ὑπηρέτησαν, τοῦτο δ' οὐκ ἦν χάρις· ἢ ὅτι
F ἀπὸ τύχης συνέπεσεν, ἢ ἠναγκάσθησαν· ἢ ὅτι ἀπέδωκαν, ἀλλ' οὐκ ἔδωκαν, εἴτε εἰδότες, εἴτε μή· ἀμφοτέρως γὰρ τὶ ἀντί τινός· ὥστ' οὐδ' οὕτως ἂν εἴη χάρις. καὶ περὶ ἁπάσας τὰς κατηγορίας σκεπτέον· ἡ γὰρ χάρις ἐστὶν, ἢ ὅτι τοδί, ἢ τοσονδί, ἢ τοιονδί, ἢ ποτέ, ἢ πού.